οἱ Α Β. καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ. τοῦ δὲ Β ὁ Δ. λέ-
γω ὅτι τῶν Α Β δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοί. καὶ
ὁ Α πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει. ἤπερ ὁ Γ
πρὸς τὸν Δ. ὁ γὰρ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν
Ε ποιείτω. τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ ποι-
είτω. ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η ποι-
είτω. ἑκάτερος δὲ τῶν Γ Δ, τὸν Ζ πολλαπλασιά-
σας. ἑκάτερον τῶν Θ Κ ποιείτω. καὶ ἐπεὶ κύβος
ἐστὶν ὁ Α πλευρὰ δὲ αὐτοῦ ὁ Γ. ὁ Γ ἄρα ἑαυτὸν πολ-
λαπλασιάσας τὸν Ε πεποίηκεν. τὸν δὲ Ε πολ-
λαπλασιάσας τὸν Α πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ
καὶ ὁ Δ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Η πεποί-
ηκεν. τὸν δὲ Η πολλαπλασιάσας τὸν Β πεποίη-
κεν. καὶ ἐπεὶ ὁ Γ ἑκάτερον τῶν Γ Δ πολλαπλασιάσας
διὰ τὸ ιζ΄ τοῦ ζ΄ ἑκάτερον τῶν Ε Ζ πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Γ
πρὸς τὸν Δ οὕτως ὁ Ε πρὸς τὸν Ζ. διὰ τὰ αὐτὰ δὴ καὶ
ὡς ὁ Γ πρὸς τὸν Δ οὕτως ὁ Ζ πρὸς τὸν Η. πάλιν ἐπεὶ
ὁ Γ ἑκάτερον τῶν Ε Ζ πολλαπλασιάσας ἑκάτε-
διὰ τὸ αὐτό ρον τῶν Α Θ πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Ε πρὸς
τὸν Ζ. οὕτως ὁ Γ πρὸς τὸν Δ. καὶ ὡς ἄρα ὁ Γ πρὸς
τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Θ. πάλιν ἐπεὶ ἑκάτε-
ρος τῶν Γ Δ, τὸν Ζ πολλαπλασιάσας ἑκάτερον
διὰ τὸ ιη΄ τοῦ ζ΄ τῶν Θ Κ πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ
διὰ τὸ ιζ΄ τοῦ αὐτοῦ οὕτως ὁ Θ πρὸς τὸν Κ. πάλιν ἐπεὶ ὁ Δ ἑκάτερον
τῶν Ζ Η πολλαπλασιάσας ἑκάτερον τῶν Κ Β πε-
ποίηκεν. ἔστιν ἄρα ὡς ὁ Ζ πρὸς τὸν Η. οὕτως ὁ Κ

πρὸς τὸν Β. ὡς δὲ ὁ Ζ πρὸς τὸν Η. οὕτως ὁ Γ πρὸς τὸν Δ. καὶ
ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ. οὕτως δὲ ὁ Α πρὸς τὸν Θ καὶ ὁ Θ
πρὸς τὸν Κ καὶ ὁ Κ πρὸς τὸν Β. τῶν Α Β ἄρα δύο μέσοι
ἀνάλογόν εἰσιν ἀριθμοὶ οἱ Θ Κ. λέγω δὴ ὅτι καὶ ὁ Α πρὸς
τὸν Β τριπλασίονα λό-
γον ἔχει ἤπερ ὁ Γ πρὸς
τὸν Δ. ἐπεὶ γὰρ τέσσα-
ρες ἀριθμοὶ ἀνάλογον
εἰσὶν οἱ Α Θ Κ Β. ὁ Α ἄρα
πρὸς τὸν Β τριπλασίονα
λόγον ἔχει ἤπερ ὁ Α πρὸς
τὸν Θ. ὡς δὲ ὁ Α πρὸς τὸν
Θ. οὕτως ὁ Γ πρὸς τὸν Δ.
καὶ ὁ Α ἄρα πρὸς τὸν Β τριπλα-
σίονα λόγον ἔχει ἤπερ ὁ
Γ πρὸς τὸν Δ. ὅπερ ἔδει δεῖξαι :-

ιγ΄ Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον. καὶ
πολλαπλασιάσας ἕκαστος ἑαυτὸν ποιῇ τινας. οἱ
γενόμενοι ἐξ αὐτῶν ἀνάλογον ἔσονται. καὶ ἐὰν οἱ
ἐξ ἀρχῆς τοὺς γενομένους πολλαπλασιάσαντες
ποιῶσί τινας. καὶ αὐτοὶ ἀνάλογον ἔσονται καὶ ἀεὶ πε-
ρὶ τοὺς ἄκρους τοῦτο συμβαίνει. ἔστωσαν ὁποσοι-
οῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α Β Γ. ὡς ὁ Α πρὸς τὸν
Β. οὕτως ὁ Β πρὸς τὸν Γ. καὶ οἱ Α Β Γ ἑαυτοὺς μὲν πολ-
λαπλασιάσαντες. τοὺς Δ Ε Ζ ποιείτωσαν. τοὺς δὲ
Δ Ε Ζ πολλαπλασιάσαντες. τοὺς Η Θ Κ ποιείτωσαν.